UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

De carnium esu, oratio posterior

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

πᾶσα ἀνάγκη τὸ στόμωμα τῆς ψυχῆς καὶ τὸ φέγγος ἀμβλύτητα καὶ σύγχυσιν ἔχειν, καὶ πλανᾶσθαι καὶ φέρεσθαι πρὸς τὰ λεπτὰ καὶ δυσθεώρητα τέλη τῶν πραγμάτων αὐγὴν καὶ τόνον οὐκ ἐχούσης. χωρὶς δὲ τούτων ὁ πρὸς φιλανθρωπίαν ἐθισμὸς οὐ δοκεῖ θαυμαστὸν εἶναι; τίς γὰρ ἂν ἀδικήσειεν ἄνθρωπον, οὕτω πρὸς ἀλλότρια καὶ ἀσύμφυλα διακείμενον καὶ πρᾴως καὶ φιλανθρώπως; ἐμνήσθην δὲ τρίτην ἡμέραν διαλεγόμενος, τὸ τοῦ Ξενοκράτους, καὶ ὅτι Ἀθηναῖοι τῷ ζῶντα τὸν κριὸν ἐκδείραντι δίκην ἐπέθηκαν. οὐκ ἔστι δὲ (οἶμαι) χείρων ὁ ζῶντα βασανίζων τοῦ παραιρουμένου τὸ ζῆν καὶ φονεύοντος. ἀλλὰ μᾶλλον (ὡς ἔοικε) τῶν παρὰ συνήθειαν ἢ τῶν παρὰ φύσιν αἰσθανόμεθα. καὶ ταῦτα μὲν ἐκεῖ κοινότερον ἔλεγον. τὴν δὲ μεγάλην καὶ μυστηριώδη καὶ ἄπιστον ἀνδράσι δειλοῖς (ἥ φησιν ὁ Πλάτων) καὶ θνητὰ φρονοῦσιν ἀρχὴν τοῦ δόγματος, ὀκνῶ μὲν ἐπὶ τῷ λόγῳ κινεῖν, ὥσπερ ναῦν ἐν χειμῶνι ναύκληρος, ἢ μηχανὴν αἴρειν ποιητικὸς ἀνὴρ ἐν θεάτρῳ σκηνῆς περιφερομένης. οὐ χεῖρον δ' ἴσως καὶ προανακρούσασθαι καὶ προαναφωνῆσαι τὰ τοῦ Ἐμπεδοκλέους. ἀλληγορεῖ γὰρ ἐνταῦθα τὰς ψυχάς, ὅτι φόνων καὶ βρώσεως σαρκῶν καὶ ἀλληλοφαγίας δίκην τίνουσαι σώμασι θνητοῖς ἐνδέδενται. καίτοι δοκεῖ παλαιότερος οὗτος ὁ λόγος εἶναι. τὰ γὰρ δὴ περὶ τὸν Διόνυσον μεμυθευμένα πάθη τοῦ διαμελισμοῦ, καὶ τὰ Τιτάνων ἐπ' αὐτὸν τολμήματα, γευσαμένων τε τοῦ φόνου κολάσεις τε τούτων καὶ κεραυνώσεις, ᾐνιγμένος ἐστὶ μῦθος εἰς τὴν παλιγγενεσίαν· τὸ γὰρ ἐν ἡμῖν ἄλογον καὶ ἄτακτον καὶ βίαιον, οὐ θεῖον ἀλλὰ δαιμονικόν, οἱ παλαιοὶ Τιτᾶνας ὠνόμασαν, καὶ τοῦτ' ἐστι κολαζομένου καὶ δίκην διδόντος.

A omnino necesse est splendorem animi lucemque retundi, atq; conturbari, vagarique & ad viles res cernendas se conferre, cum ad consideranda ea q̃ aliquid habent difficultatis, nihil ei sit acuminis atque viriũ. Iam absq; hæc essent, quis non maximi faciat adsuefactionẽ ad humanitatem? quis enim lædere vellet hoẽm, ita benigne & humaniter affectũ animo ad aliena & non cognatorum sibi mala? Nudiustertius disserens, mentionẽ feci Xenocratis: & q̃ Athenienses pœnã ab eo exegerũt, qui viuo arieti pellẽ detraxerunt. non est aũt, puto, viuũ torquens deterior eo qui interficit. Sed nimirum magis ea sentimus q̃ consuetudini, q̃ quæ naturæ B repugnant. Initium aũt nostræ opinionis, magnũ illud & sacri mysterii germanum, ignauisq; (vt ait Plato) & mortalia sapientibus incredibile, equidẽ vix audeo verbis attingere: tanquã cum nauim in tempestate gubernator torquet, aut in theatro scena labante, machinã tollit poeta. Tamen nihil obstat quominus Empedocleam sententiã procemii loco præcinã. Quod.n. nostræ animæ mortalibus corporib. sunt illigatæ, id ita interpretatur, quod pœnas ex cædium & esus carniũ pendant. Quanq̃ hæc quidẽ oratio videtur esse antiquior. Quæ.n. C fabulæ ferũtur de Baccho membratim discerpto, & quæ aduersus eum conati sint Titanes, vtq; gustauerint cæsi cadauer, punitiq; & fulminibus icti perierint: sermo est qui ad nouos refertur natales, secundumq; ortum. Brutam enim in nobis animæ facultatem, incompositam eam & violentam, non diuinam, sed à genio profectam, veteres Titanas appellauerunt: eaq; est quæ dat pœnas.

# ΠΛΟΥΤΑΡΧΟΥ ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ.

## Λόγος β.

Ἐπὶ τὰ ἕωλα τῆς σαρκοφαγίας προσφάτοις ἡμᾶς ὁ λόγος παρακαλεῖ ταῖς τε διανοίαις καὶ προθυμίαις ἐλθεῖν. χαλεπὸν μὲν γὰρ (ὥσπερ Κάτων ἔφησε) λέγειν πρὸς γαστέρας ὦτα μὴ ἐχούσας· καὶ πέποται ὁ τῆς συνηθείας κυκεών, ὥσπερ ὁ τῆς Κίρκης ὠδίνας ὀδύνας κυκεὼν ἀπάτας τε γόους τε· καὶ τὸ ἄγκιστρον ἐκβάλλειν τῆς σαρκοφαγίας ὡς ἐμπεπλησμένων τῇ φιληδονίᾳ, καὶ διαπεπαρμένον, οὐ ῥᾴδιόν ἐστιν. ἐπεὶ καλῶς εἶχεν, ὥσπερ Αἰγύπτιοι τῶν νεκρῶν τὴν κοιλίαν ἐξελόντες, καὶ πρὸς τὸν ἥλιον ἀνασχίζοντες ἐκβάλλουσιν, ὡς αἰτίαν ἁπάντων ὧν ὁ ἄνθρωπος ἥμαρτεν, οὕτως ἡμᾶς ἑαυτοῖς τὴν γαστριμαργίαν καὶ μιαιφονίαν ἐκτέμνοντας, ἁγνεῦσαι τὸν λοιπὸν βίον. ἐπεὶ ἥ γε γαστὴρ οὐ μιαιφόνον ἐστίν, ἀλλὰ μιαινόμενον ἀπὸ τῆς ἀκρασίας. οὐ μὴν ἀλλ' εἰ καὶ ἀδύνατον, ἢ διὰ τὴν συνήθειαν τὸ ἀναμάρτητον αἰσχυνόμενοι, τῷ ἁμαρτάνοντι χρησόμεθα διὰ τὸν λόγον, ἐδώμεθα σάρκας, ἀλλὰ πεινῶντες οὐ τρυφῶντες· ἀναιρήσομεν ζῷον, ἀλλ' οἰκτείροντες καὶ ἀλγοῦντες, οὐχ ὑβρίζοντες οὐδὲ βασανίζοντες· οἷα νῦν πολλὰ δρῶσιν, οἱ μὲν εἰς σφαγὴν ὑῶν ὠθοῦντες ὀβελοὺς διαπύρους,

# D PLVTARCHI DE CARNIVM ESV,

## Oratio posterior.

Ratio nos hortatur, vt recentibus alacribusq; cogitationibus ad disputationem de carniũ esu pridianã reuertamur. Est vero, vt aiebat Cato, difficile verba facere ad ventres auribus carentes: E haustusq; est à plerisq; consuetudinis ille è variis mixtus ac confusus potus, Circæi cyceonis instar pariens

*Fraudes, & gemitus, cruciatus, atq; dolores.*

neq; facile hamus eximi põt esus carniũ, voluptatis cupiditate occupatis ac tanq̃ trãsfixis. Equidẽ conueniebat, vt quo more hominis mortui vẽtrẽ exsecãt, atq; aduerso Sole cõscissũ abiiciũt, eũ innuẽtes fuisse causã omniũ quę in vita peccauit homo: ita nos gulæ cædisq; studio euulso reliquũ vitæ tẽpus caste exigere. quãdo ipse venter nõ ad cædes impellit, sed intẽperantiæ nostræ culpa iis polluitur. Verumtamẽ si fieri nequit vt plane vitemus esum F carniũ, & cõsuetudo facit vt nos pudeat isto peccato abstinere: saltẽ cũ ratione peccemus. Edamus, inquam, carnes, sed fame, non luxuria impulsi: interficiamus animal, sed miserantes & dolentes: nõ insultantes & excruciãtes. qualia nunc multi multa perpetrant. alii verubus ignitis porcos iugulant, vt ferri

impar verò huic disputationi est Stoicorum pro esu A carnium decertatio? Quis.n. est iste, cui tā multa in ventrē & culinā ora patent? Cur voluptatem effeminatā dicentes, & neq; inter bona, neq; inter ea, quæ præcipua vocāt, neq; inter naturæ conuenientia numerātes, tanto studio pro iis laborāt, quæ ad voluptatem cōducunt? Certe cōsequens hoc erat, vt cum è cōuiuiis vnguentū & placentas exegisset, multo magis carnem & sanguinem auersarentur. Nunc velvti si suā philosophandi rationē ad diarias redituū instituissent annotationes, sumtū in res inutiles atq; ociosas faciendum amputāt: inhumanitatem luxus atq; crudelitatem nō aversantur. Quid B tum postea? dicent. nulla nobis cū brutis est familiaritas. Ne cum vnguentis quidem, inquam & exoticis condimentis. & tamen hæc, tanquam invtilia & supervacanea, solique voluptati inseruientia, vndiq; expellitis. Verum enimuerò hoc ipsum iam nunc dispiciamus, an nullo nobis iure natura brutum animantium genus devinxerit: non artificiose hoc aut sophistarum more disputātes: sed in ipsas nostrorum animorum affectiones intuiti, humaniterq; nobiscum ista meditantes atq; perpendentes.

* * *

A οὐκ ἴσος δέ τις ὁ ἀγὼν ἐστι τοῖς Στωϊκοῖς ὑπὲρ τῆς σαρκοφαγίας. τίς ὁ πολύστομος εἰς τὴν γαστέρα καὶ τὰ ὀπτανεῖα; τί τὴν ἡδονὴν θηλύνοντες καὶ διαβάλλοντες, ὡς οὔτε ἀγαθὸν οὔτε προηγούμενον οὔτε οἰκεῖον, οὕτως περὶ τὰ περὶ τῶν ἡδονῶν ἐσπουδάκασι; καὶ μὴν ἀκόλουθον ἦν αὐτοῖς, εἰ μύρον ἐξελαύνουσι καὶ πέμμα τῶν συμποσίων, μᾶλλον αἷμα καὶ σάρκα δυσχεραίνειν, νῦν δὲ ὥσπερ εἰς τὰς ἐφημερίδας φιλοσοφοῦντες, δαπάνην ἀφαιροῦσι τῶν δείπνων ἐν τοῖς ἀχρήστοις καὶ περιττοῖς, τὸ δὲ ἀνήμερον τῆς πολυτελείας καὶ φονικὸν οὐ παραιτοῦνται. ναὶ (φησὶν) οὐδὲν γὰρ ἡμῖν πρὸς B τὰ ἄλογα οἰκεῖόν ἐστι. οὐδὲ γὰρ πρὸς τὸ μύρον, (φαίη τις ἄν) οὐδὲ πρὸς τὰ ξενικὰ τῶν ἡδυσμάτων· ἀλλὰ καὶ τούτων ἀποτρέπεσθε, τὸ μὴ χρήσιμον μηδὲ ἀναγκαῖον ἐν ἡδονῇ, πανταχόθεν ἐξελαύνοντες. οὐ μὴν ἀλλὰ καὶ τοῦτο ἤδη σκεψώμεθα, τὸ μηδὲν εἶναι πρὸς τὰ ζῶα δίκαιον ἡμῖν, μηδὲ τεχνικῶς, μηδὲ σοφιστικῶς, ἀλλὰ τοῖς πάθεσιν ἐμβλέψαντες τοῖς ἑαυτῶν, καὶ πρὸς ἑαυτοὺς ἀνθρωπικῶς λαλήσαντες καὶ ἀνακρίναντες.

C

## PLVTARCHI QVÆstiones Platonicæ.

Q Vidnam rei hoc est, q; Socratem deus aliis obstetricis ministerium præstare iussit, ipsum gignere prohibuit? Sic enim in Theeteto ipse loquitur, non vtique suo more ludens & iocans: D neq; enim adhibuisset dei nomē dicto non serio. Et alioqui Plato eo in libro multa arroganter ac per iactantiam dicta Socrati tribuit. de quibus etiam hoc est. Multi enim, o lepidum caput, eo sunt erga me animo, vt parati sint illico mordere, quoties aliquid delirii eis adimo: putantq; dudum benevolentia hoc me facere. admodū quippe ignorāt neminem deum male velle hominibus, ac proinde me quoq; nihil horum malevolētiæ impulsu facere: sed quia nefas ducam mendacio assētiri, aut veritatem obruere. Numnam igitur suam naturam vt maiore iudicii vi ac facunditate præditam, dei nomine affecit? sic vt Menander: E

*Nam mens nobis Deus est.*--

& Heracletus: Ingenium hominis numen. Aut diuina aliqua causa, geniusque aliquis Socrati hunc philosophandi morem præcepit? vt semper alios examinans, fastu eos & errore atque arrogantia, quibus rebus primum sibi ipsis, deinde etiam vna agentibus erant molesti, liberaret. Ea enim tempestate quasi fortuna quadam sophistæ in Græcia proveniebant frequentes, quib. adolescentes multum pendentes pecuniæ, implebantur doctrinæ ac sapentiæ opinione, studioque disputandi certatim: F quod genus disputationis inutilibus contentionibus ocium tempusque conterebat, neq; pulcri aut vtilitatis quicquam habebat. Socrates autem ratione disserēdi ad redarguendū apposita instructus, eaq; tanquā purgāte vtens medicamento, eo fidem sibi autoritatemq; comparabat, q; alios refellens nihil ipse affirmabat: & admittebatur facilius, quia vna quærere veritatem, nō suā opinionē defendere videbatur.

## ΠΛΟΥΤΑΡΧΟΥ Πλατωνικὰ ζητήματα.

ΤΙ δήποτε τὸν Σωκράτην ὁ θεὸς μαιοῦσθαι μὲν ἐκέλευσεν ἑτέροις, αὐτὸν δὲ γεννᾶν ἀπεκώλυσεν; ὡς ἐν Θεαιτήτῳ λέγει. οὐ D γὰρ εἰρωνευόμενός τε καὶ παίζων προσεχρήσατο ἂν τῷ τοῦ θεοῦ ὀνόματι. καὶ ἄλλως ἐν τῷ Θεαιτήτῳ πολλὰ μεγάλαυχα καὶ σοβαρὰ Σωκράτει περιτέθεικεν, ὧν καὶ ταῦτά ἐστι, Πολλοὶ γὰρ δή, ὦ θαυμάσιε, οὕτω πρός με διατεθήκασιν, ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι. καὶ οὐκ οἴονταί με εὐνοίᾳ τοῦτο ποιεῖν· πόῤῥω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς θεὸς δύσνους ἀνθρώποις· οὐδὲ ἐγὼ δυσνοίᾳ τοιοῦτον οὐδὲν δρῶ, ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι, καὶ ἀληθὲς ἀφανίσαι, οὐδαμῶς θέμις. πότερον οὖν τὴν ἑαυτοῦ φύσιν, ὡς κριτικωτέραν καὶ γονιμωτέραν οὖσαν, θεὸν προσεῖπε; καθάπερ Μένανδρος. ὁ νοῦς E γὰρ ἡμῶν ὁ θεός. καὶ Ἡράκλειτος, ἦθος ἀνθρώπου δαίμων. ἢ θεῖόν τι καὶ δαιμόνιον ὡς ἀληθῶς αἴτιον ὑφηγήσατο Σωκράτει τοῦτο τῆς φιλοσοφίας τὸ γένος, ᾧ τοὺς ἄλλους ἐξετάζων ἀεί, τύφου καὶ πλάνης καὶ ἀλαζονείας, καὶ τοῦ βαρεῖς εἶναι πρῶτον μὲν αὐτοῖς, εἶτα καὶ τοῖς συνοῦσιν, ἀπήλλαττε; καὶ γὰρ ὥσπερ ἐκ τύχης τότε φορὰν γενέσθαι συνέβη σοφιστῶν ἐν τῇ Ἑλλάδι· καὶ τούτοις οἱ νέοι πολὺ τελοῦντες ἀργύριον, οἰήματος ἐπληροῦντο, καὶ δοξοσοφίας, καὶ λόγων ζήλου, σχολὴν καὶ διατριβὰς ἀπράκτους ἐν ἔρισι καὶ φιλοτιμίαις ἄγοντες, καλὸν δὲ F καὶ χρήσιμον οὐδὲν οὐδ' ὁτιοῦν. τὸν οὖν ἐλεγκτικὸν λόγον ὥσπερ καθαρτικὸν ἔχων φάρμακον ὁ Σωκράτης, ἀξιόπιστος ἦν, ἑτέρους ἐλέγχων, τῷ μηδὲν ἀποφαίνεσθαι· καὶ μᾶλλον ἥπτετο, δοκῶν ζητεῖν κοινῇ τὴν ἀλήθειαν, οὐκ αὐτὸς ἰδίᾳ δόξῃ βοηθεῖν.